www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΔΙΚΑΙΟΥ ΙΩΣΗΦ
# ΤΟΥ ΜΝΗΣΤΟΡΟΣ

ΨΑΛΛΟΜΕΝΗ ΤΗ ΚΥΡΙΑΚΗ ΜΕΤΑ ΤΗΝ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΙΝ

ΔΕΚΕΜΒΡΙΟΥ ΚϚ΄.



www.tezaurliturgic.ro



# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΔΙΚΑΙΟΥ ΙΩΣΗΦ ΤΟΥ ΜΝΗΣΤΟΡΟΣ

## ψαλλομένη τῇ Κυριακῇ μετὰ τὴν Χριστοῦ Γέννησιν.

## ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τό, *Μακάριος ἀνήρ*. Εἰς δὲ τό, *Κύριε ἐκέκραξα*, ἱστῶμεν Στίχους στ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος δ΄. *Ὡς γενναῖον ἐν Μάρτυσιν.*

Ὡς θεράποντα γνήσιον, τοῦ Θεοῦ εὐφημοῦμέν σε,
ἐναρέτοις πράξεσι διαλάμποντα,
ὥσπερ μνηστῆρα θεόφρονα,
καὶ φύλακα ἔνθεον, τῆς Παρθένου καὶ Ἁγνῆς,
τὰ σεπτὰ προτερήματα, μακαρίζοντες,
Ἰωσὴφ τῆς εὐθείας σου καρδίας,
καὶ ἠθῶν τὴν εὐκοσμίαν,
καὶ τὴν τῶν τρόπων χρηστότητα.

Προειδὼς τὴν εὐγένειαν, τῆς ψυχῆς σου ὁ Κύριος,
καὶ τῆς πολιτείας σου τὴν σεμνότητα,
ὡς καθαρῷ σοι παρέθετο,
τὴν μόνην Ἀκήρατον, ἐξ ἧς ἔμελλε σαρκί,
προελθεῖν ὁ Φιλάνθρωπος, ἣν ἐφύλαξας,
ταῖς ὁσίαις χερσί σου μέχρι τέλους,
ὡς ἁγνὴν Θεοῦ Παστάδα, καὶ Παρθενίας κειμήλιον.

www.tezaurliturgic.ro


Ὡς ἐπέστη κατ' ὄναρ σοι, Γαβριὴλ ὁ Ἀρχάγγελος,
εὐδοκίᾳ κρείττονι σοὶ ἐβόησε·
Μὴ φοβηθῇς τὴν Πανάχραντον,
λαβεῖν ὡς ἀμόλυντον, Ἰωσὴφ υἱὲ Δαυΐδ,
ἐξ Ἁγίου γὰρ Πνεύματος, Υἱὸν τέξεται,
ὅς Υἱὸς τοῦ Θεοῦ σύνθρονος πέλει,
καὶ Σωτὴρ τοῦ κόσμου ἔσται,
δι'εὐσπλαγχνίαν ἀμέτρητον.

Ἐν Σπηλαίῳ τικτόμενον, τὸν ὑπέρθεον Κύριον,
ἀνωδύνως Ἅγιε ὡς ἑώρακας,
ἐκ τῆς ἀχράντου Θεόπαιδος,
αὐτῷ προσεπέλασας, ταπεινώσει ἀληθεῖ,
τῶν Ἀγγέλων θεώμενος, τὰ στρατεύματα,
ἀνυμνούντων αὐτοῦ τὴν παρουσίαν,
Ἰωσὴφ καὶ ἐπληρώθης,
τῆς ἀπορρήτου ἐλλάμψεως.

Καθυπείκων τοῖς νεύμασι, τοῦ τεχθέντος ὡς νήπιον,
οὗ πατὴρ ὠνόμασαι ὡς ἠθέλησε,
τοῦτον κατάγεις εἰς Αἴγυπτον,
τελείῳ φρονήματι, σὺν τῇ Κόρῃ Μαριάμ,
καὶ ἐκεῖθεν ἀνήγαγες, αὐτὸν ἅγιε,
εἰς τὴν γῆν Ἰσραὴλ φωνῇ Ἀγγέλου,
Ἰωσὴφ εἰς Ναζαρὲτ δέ,
ἐλθόντες ἅμα ᾠκήσατε.

Τίς ἀξίως ὑμνήσει σε, Ἰωσὴφ πολυΰμνητε;
Ὧ γὰρ ὑποτέτακται κτίσις ἅπασα,
ὥσπερ υἱὸς ὑπετάγη σοι,
ἑκὼν ὁ Φιλάνθρωπος, σαρκωθεὶς δίχα τροπῆς,
καὶ πατέρα σε κέκληκεν, ἐργαζόμενος,
μετὰ σοῦ οἷα τέκτων ὁ τεκτήνας,
οὐρανὸν καὶ τὴν γῆν πᾶσαν,
τῷ πανσθενεῖ αὐτοῦ ρήματι.

www.tezaurliturgic.ro



Δόξα. Ἦχος πλ. β΄.

Τὴν τῶν Δικαίων καλλονὴν καὶ τῶν Ἁγίων δόξαν,
τὸ σκεῦος τῶν χαρίτων,
καὶ τῶν ἀμέμπτων ἠθῶν τὸ ὑπόδειγμα,
συνελθόντες, ὦ φιλέορτοι, μελῳδικοῖς ἐφυμνίοις,
τιμήσωμεν λέγοντες·
Χαίροις ὁ τῆς Παρθένου Μνηστήρ,
καὶ φύλαξ ἱερὸς καὶ παραστάτης ἔνθεος.
Χαίροις Ἀγγέλων συνόμιλε,
καὶ τῆς Χριστοῦ κενώσεως ὑπηρέτης θεόληπτος.
Χαίροις τῆς σωφροσύνης πολύτιμον δοχεῖον,
καὶ τῆς ταπεινώσεως περίβλεπτον ὕψωμα.
Καὶ νῦν παμμάκαρ Ἰωσήφ, μὴ παύσῃ πρεσβεύων,
τῷ νομισθέντι σοι υἱῷ Χριστῷ τῷ Θεῷ ἡμῶν,
ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων,
τὴν εὐκλεῆ καὶ πανγέραστον μνήμην σου.

Καὶ νῦν. Ὁ αὐτός.

Τίς μὴ μακαρίσει σε...

Εἴσοδος, *Φῶς ἱλαρόν*, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα τοῦ ἁγίου Σάββα.

Εἰς τὴν Λιτήν, Ἰδιόμελα. Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ τὴν ἀληθῆ εὐφροσύνην,
Ἰωσὴφ μακάριε, πάντων Δικαίων ἐγκαλλώπισμα.
Ἄμεμπτος γὰρ καὶ δίκαιος, ἐν τῷ Νόμῳ γενόμενος,
τῆς ἐν Χριστῷ δικαιοσύνης ἐδέξω τελείωσιν.
Αὐτόπτης γὰρ ὤφθης,
τῆς πρὸς ἡμᾶς μετὰ σώματος ἐπιδημίας αὐτοῦ,
καὶ πατὴρ ἐλογίσθης, τοῦ πρὸ Ἑωσφόρου ἐκλάμψαντος,
ἐκ τοῦ ἀνάρχου Θεοῦ καὶ Πατρός,
Ὧ καὶ ἀμέσως κοινωνήσας, ἡγιάσθης ψυχῇ καὶ σώματι,
καὶ ἐθεώθης κατὰ μέθεξιν.

www.tezaurliturgic.ro



Ἀλλ' ὡς ἔχων παρρησίαν μεγίστην,
ἱκέτευε δεόμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β'.

Τῇ καθαρότητι προσέχων τοῦ βίου σου,
ὁ τῶν ἁπάντων Θεός, διαφερόντως σε τετίμηκεν,
ὑπὲρ πάντας δικαίους, Ἰωσὴφ παμμακάριστε.
Τῆς γὰρ ἀχράντου Μητρὸς αὐτοῦ,
τὴν φυλακήν σοι ἐνεχείρισε, διὰ μνηστείας θεοκρίτου,
καὶ τῆς αὐτοῦ οἰκονομίας τὸ μέγα μυστήριον,
θαυμαστῶς σοι ἐφανέρωσεν, ἀγγελικαῖς ἐπιστασίαις.
Ὡς γὰρ Ἄγγελος οὐράνιος ἐλειτούργησας αὐτῷ,
ἐν ἀπλάστῳ ψυχῇ, καὶ ἐν πᾶσι πειθήνιος,
ὁλοτρόπῳ σπουδῇ, τῷ θελήματι ἐδείχθης,
Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τοῦ λαμπρῶς σε μεγαλύναντος.

Ἦχος γ'.

Τίς ἐπαξίως ὑμνήσει, τὰς ἀρετάς σου Πανεύφημε,
καὶ τῆς δοθείσης σοι Χάριτος, τὴν δόξαν καὶ λαμπρότητα;
Μετὰ τὴν ἄχραντον Παρθένον γάρ,
Θεός σε ἐξελέξατο, εἰς ὑπουργίαν κρείττονα,
τῆς ἀπορρήτου αὐτοῦ σαρκώσεως,
ὡς οἰκεῖον αὐτοῦ θεράποντα.
Μακάριος εἶ, ὅτι Θεὸν σεσαρκωμένον ἑώρακας,
καὶ τὸν ἀναφῆ ὡς βρέφος ἐψηλάφησας.
Καὶ πατὴρ ἐκλήθης, Ὢ Ἀγγέλων αἱ τάξεις,
μετὰ δέους παρίστανται.
Τῇ πρὸς αὐτὸν οὖν οἰκειότητι κεχρημένος,
ὑπὲρ ἡμῶν ἀπαύστως ἱκέτευε,
θεοφόρε Ἰωσήφ, τὸν μόνον εὔιλατον.

Ἦχος δ'.

Θεοπρεπῆ πολιτείαν ἐπιδειξάμενος,
ὑπερφυῶν ἠξιώθης πραγμάτων,
καὶ ξένων μυστηρίων αὐτόπτης ἐγένου,

www.tezaurliturgic.ro



ἀξιομακάριστε Ἰωσήφ.
Ἃ γὰρ παλαιοὶ Προφῆται καὶ Δίκαιοι,
τύποις καὶ αἰνίγμασι προέβλεψαν,
καὶ ὧν τὴν ἡμέραν ἐπεθύμουν ἰδεῖν,
αὐτὸς ἀμέσως ἐθεάσω, καὶ κοινωνὸς ἐγένου,
καὶ ὑπουργὸς ἐνθεώτατος.
Χριστὸν γάρ, τὴν προσδοκίαν τῶν ἐθνῶν,
ὡς βρέφος κατεῖδες,
καὶ τὸ κατὰ σάρκα διήγαγες,
καὶ ὡς υἱὸν ἐνηγκαλίσω,
καὶ πατρικῷ φιλήματι ἠσπάσω.
Ὅθεν θαυμαστῶς ἐδοξάσθης,
καὶ πολλαπλοῖς ἐμεγαλύνθης χαρίσμασι,
πρεσβεύων ἐκτενῶς, ὑπὲρ τῶν τιμώντων σε.

Δόξα. Ὁ αὐτός.

Τὸν ἐν Ἁγίοις περίδοξον, καὶ ἐν Δικαίοις περιφανῆ,
Ἰωσὴφ τὸν ἐνθεώτατον,
τὸν τῆς Ἁγνῆς Θεοτόκου Μνήστορα,
πάντες οἱ πιστοὶ χαρμονικῶς ὑμνήσωμεν.
Προωρισμένος γὰρ ἄνωθεν, ὡς ἐκλεκτὸς τῷ Θεῷ,
ἐν τῷ ἀρρήτῳ μυστηρίῳ,
τῆς ἐν σαρκὶ οἰκονομίας αὐτοῦ,
ἄξιος λειτουργὸς ἐδείχθη,
διαγαγὼν πιστῶς, ὧν ἐπιστεύθη τὴν ἔκβασιν.
Καὶ μεταστὰς ἐν Οὐρανοῖς,
τοῦ σαρκωθέντος Θεοῦ τὴν δόξαν,
ἀνακεκαλυμμένως ὁρᾷ καὶ πρεσβεύει,
ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων...

www.tezaurliturgic.ro


Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος δ΄. *Ὁ ἐξ Ὑψίστου κληθείς.*

Ὁ τοῦ Ὑψίστου Θεοῦ Υἱὸς καὶ Λόγος,
γενόμενος ἄνθρωπος, δι' ἀγαθότητα,
ἐκ τῆς ἁγνῆς Θεομήτορος, ἀνερμηνεύτως,
σῶσαι βουλόμενος κόσμον ἅπαντα,
πατέρα σε ἔσχηκεν ὁ Ὑπερούσιος,
τὴν ἀρετήν σου ἀγάμενος, καὶ καθωρᾶτο,
ἐν Ναζαρὲτ σοι ὑποτασσόμενος.
Ὅθεν ἀξίως τεθαυμάστωσαι,
Ἰωσὴφ τῶν Δικαίων ἀγλάϊσμα,
καὶ πρεσβεύεις ἀπαύστως,
τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Στίχ.* Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος...

Καθυπουργήσας τῷ θείῳ μυστηρίῳ,
τῆς θείας σαρκώσεως, τοῦ Παντοκράτορος,
ὡς καθαρὸς τὴν διάνοιαν, καὶ τὴν καρδίαν,
καὶ εὐλαβείας πλήρης καὶ πίστεως,
τὸν σάρκα γενόμενον Θεὸν ἑώρακας,
καὶ ταῖς χερσὶν ἐψηλάφησας, οἷά περ βρέφος,
τὸν ἀπερίληπτον καὶ ἀόρατον.
Ὅθεν πλουσίων κατετρύφησας,
δωρεῶν καὶ ἀΰλων ἐλλάμψεων,
Ἰωσὴφ θεοφόρε,
πρεσβευτὰ τῶν εὐφημούντων σε.

*Στίχ.* Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ...

Τῇ τοῦ Ἀγγέλου κελεύσει ὑπακούσας,
φανέντος κατ' ὄναρ σοι, βουλῇ τῇ κρείττονι,
φεύγεις σπουδαίως εἰς Αἴγυπτον, μετὰ Μαρίας,
καὶ τοῦ ἐκ ταύτης σαρκὶ τεχθέντος Θεοῦ,
ἐκεῖθεν ἀνήγαγες ἐπὶ τὴν γῆν Ἰσραήλ,
τὸν πάντα φέροντα νεύματι, παντοδυνάμῳ,
βρέφος ὀφθέντα καὶ ὃ ἦν μείναντα,
καὶ ἐπὶ πόλιν κατῳκήσατε,

www.tezaurliturgic.ro



Ναζαρὲτ Ἰωσὴφ παμμακάριστε.
Διὰ τοῦτο τιμῶμεν,
τὰ σεπτά σου προτερήματα.

Δόξα. Ἦχος πλ. δ΄.

Τῇ τοῦ Ἀγγέλου ὀμφῇ
παραλαβὼν τὴν ἄχραντον Παρθένον,
τὸν ἐξ αὐτῆς τεχθέντα Θεόν, ὁσίαις ἐτιθηνήσω χερσί.
Καὶ πατὴρ ἐνομίσθης
τοῦ ἐξ ἀνάρχου Πατρὸς ἀχρόνως γεννηθέντος,
καὶ ἐπ' ἐσχάτων τῶν χρόνων, σαρκὶ προσομιλήσαντος,
ὡς ἂν ἡμεῖς ἀπολαύωμεν,
τὴν ἐν Θεῷ καὶ Πατρί, υἱοθεσίαν κρείττονα.
Καὶ νῦν μακάριε Ἰωσήφ,
σὺν τῇ ἀειπαρθένῳ Κόρῃ πρέσβευε,
ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι...

*Νῦν ἀπολύεις*, τὸ *Τρισάγιον* καὶ τὸ Ἀπολυτίκιον.
Ἦχος γ΄. *Θείας πίστεως*.

Θείαις πράξεσι κεκοσμημένος,
Μνήστωρ ἔνθεος, τῆς Θεοτόκου,
ἀνεδείχθης Ἰωσὴφ ἀξιάγαστε,
καὶ ὁλοψύχῳ σπουδῇ διηκόνησας,
τῷ σαρκωθέντι Θεῷ ὥσπερ Ἄγγελος.
Ὅθεν πρέσβευε δοθῆναι τοῖς σὲ γεραίρουσι,
πταισμάτων ἱλασμὸν καὶ μέγα ἔλεος.

Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν...

*Ἀπόλυσις.*

www.tezaurliturgic.ro



# ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. *Τὸν τάφον σου Σωτήρ.*

Ὡς Μνήστορα σεπτὸν, τῆς ἁγνῆς Θεοτόκου,
καὶ φίλον τοῦ Θεοῦ, καὶ θεράποντα θεῖον,
φαιδρῶς σε μακαρίζομεν, Ἰωσὴφ ἀξιάγαστε,
ἑορτάζοντες, τὴν φωτοφόρον σου μνήμην,
ἐν ᾗ δώρησαι, ἡμῖν τὴν σὴν εὐφροσύνην,
ὡς πλήρης ὢν χάριτος.

Θεοτοκίον.

Φυλάξας ὡς καλός, τὴν Πανάχραντον Κόρην,
ὡς ἔλαβες αὐτήν, ἐκ χειρὸς ἱερέων,
Μητέρα ταύτην ἔβλεψας, γενομένην τοῦ Κτίσαντος,
καὶ πανάφθορον, μετὰ τὸν ἄφραστον τόκον,
ταύτην μείνασαν, ἐν παρθενίᾳ τελείᾳ,
δυνάμει τῇ κρείττονι.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος γ΄. *Τὴν ὡραιότητα.*

Φεύγεις εἰς Αἴγυπτον, θείῳ κελεύσματι,
Κόρην τὴν Ἄμωμον, φέρων μακάριε,
καὶ τὸν τεχθέντα ἐξ αὐτῆς, ἀφράστως δι' εὐσπλαγχνίαν.
Ὢ τοῦ ἀξιώματος, τοῦ μεγίστου σου Ἅγιε,

www.tezaurliturgic.ro



ὅτι ὥσπερ νήπιον, περιέπεις τὸν ἄληπτον!
Διό σε Ἰωσὴφ θεοφόρε,
ᾀσμάτων ὕμνοις μεγαλύνομεν.

Θεοτοκίον.

Τὴν παρθενίαν σου, ἀδιαλώβητον,
Παρθένε Ἄχραντε, μετὰ τὴν κύησιν,
κατανοῶν ὁ Ἰωσήφ, ὁ Μνήστωρ σου ὁ θεόφρων,
τὸ ἐν σοὶ μυστήριον, τελεσθὲν ἐξεπλήττετο,
καὶ τὸν ἐκ λαγόνων σου, ἀνωδύνως ἐκλάμψαντα,
ἀνύμνει καὶ ἐβόα σοι Κόρη·
Χαῖρε ἡ Κεχαριτωμένη.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος δ΄. *Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Δικαιοσύνη τῇ ἐν νόμῳ ἐμπρέπων,
δίκαιος ὤφθης ταπεινός τε καὶ πρᾶος,
καὶ ἐκ καρδίας τὸν Θεὸν φοβούμενος.
Ὅθεν σε ἠξίωσεν, ἀπορρήτων πραγμάτων,
Ἰωσὴφ μακάριε, ὁ τῶν ὅλων Δεσπότης.
Τῆς γὰρ αὐτοῦ σαρκώσεως σοφέ,
τὸ ὑπὲρ λόγον, κατεῖδες μυστήριον.

Θεοτοκίον.

Ἐν τῷ Σπηλαίῳ ἀπορρήτως τεκοῦσα,
τὸν σαρκωθέντα ἐξ ἁγνῶν σου αἱμάτων,
τὰς τῶν Ἀγγέλων στρατιὰς Πανύμνητε,
ἔσχηκας ὑμνούσας σε, καὶ ἀπλάστους ποιμένας,
προσκυνοῦντας Ἄχραντε, εὐλαβείᾳ καὶ φόβῳ.
Ὁ Ἰωσὴφ δὲ ταῦτα καθορῶν,
τὸν γεννηθέντα, Σωτῆρα ἐδόξαζεν.

Οἱ *Ἀναβαθμοί,* τὸ α΄ Ἀντίφ. τοῦ δ΄ ἤχου καὶ τὸ *Προκείμενον.*
Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ, εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.

www.tezaurliturgic.ro



*Στίχ.* Δίκαιος ὡς φοίνιξ ἀνθήσει...

*Εὐαγγέλιον* τοῦ Ὄρθρου τῆς 25ης Δεκεμβρίου.

*Ὁ Ν΄. Δόξα.* Ταῖς τοῦ Θεοφόρου...

*Καὶ νῦν.* Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος β΄.

*Στίχ.* Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Θεοπρεπεῖ ὑπηρετήσας ἐννοίᾳ, τῷ σαρκωθέντι Θεῷ,
εὐκλεῶς παρ' αὐτοῦ ἐδοξάσθης,
ὡς οἰκεῖος αὐτῷ, Ἰωσὴφ ἀξιάγαστε.
Καὶ νῦν τῆς δόξης αὐτοῦ ἀμέσως ἀπολαύων,
καὶ θέσει θεούμενος, ἱκέτευε δεόμεθα,
τῷ φωτὶ τῆς χάριτος, λαμπρυνθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἶτα οἱ Κανόνες. Ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς.

*Ἰωσὴφ τὸν Μνήστορα γεραίρω. Γερασίμου.*

*Ὠδὴ α΄.*

*Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.*

Ἰσχύν μοι χορήγησον, καὶ λόγον δός μοι Φιλάνθρωπε,
ὑμνῆσαι θελήσαντι, οὗ ἐλογίσθης υἱός,
τὸν θεόληπτον, Μνηστῆρα τῆς Μητρός σου,
τὸν σὲ τιθηνήσαντα, Χριστὲ ὡς νήπιον.

Ὡράθης κοσμούμενος, ἀνεπιλήπτοις σου ἤθεσιν,
ὡς πρᾶος καὶ ἄκακος, ἐν ταπεινώσει πολλῇ.
Ὅθεν Κύριος, προσέσχε σου τοῖς τρόποις,
καὶ θείας σε ἔπλησε, δόξης καὶ χάριτος.

Σαρκὸς ὁμοιώματι, ἐπιφανεὶς ὁ Φιλάνθρωπος,
ἐκ Κόρης Θεόπαιδος, δι' ἀγαθότητα,
ὑπηρέτην σε, ὡς καθαρὸν ἐν πᾶσι,
αὐτοῦ τῆς σαρκώσεως, μάκαρ ἀνέδειξε.

www.tezaurliturgic.ro



Θεοτοκίον

Ηνίκα παρέλαβες, ἐκ τοῦ ναοῦ τὴν Πανάχραντον,
αὐτὴν διεφύλαξας, ὡς ὡρισμένην Θεῷ,
θείῳ νεύματι, πρὸ τῶν αἰώνων οὖσαν.
Ὅθεν μεγαλύνομεν, τὸ σὸν ἀξίωμα.

Ὠδὴ γ΄. *Τοὺς σοὺς ὑμνολόγους.*

Φωνῆς τοῦ Ἀγγέλου ὑπακούσας,
φανέντος κατ᾽ ὄναρ σοι σοφέ,
παρέλαβες ὡς ἄμωμον, Μαρίαν τὴν πανάχραντον,
ἐξ ἧς Θεὸς σὰρξ γέγονεν,
ἀνακαινίζων τὸν ἄνθρωπον.

Τὸν βίον σωφρόνως διανύων,
Θεὸν σαρκωθέντα κατιδεῖν,
κατηξιώθης Ἅγιε, καὶ δέξασθαι ὡς νήπιον,
ἐν ταῖς σεπταῖς ἀγκάλαις σου.
Ὢ τῆς μεγίστης σου χάριτος!

Ὅλος ἐπαφῇ καθηγιάσθης,
οὗ κλήσει λελόγισαι πατήρ,
δι᾽ ἄκραν ἀγαθότητα. Αὐτὸν περιεπτύξω γάρ,
ὡς βρέφος τιθηνούμενον,
ὦ Ἰωσὴφ παμμακάριστε.

Θεοτοκίον.

Νήπιον κρατοῦσαν ἐν ἀγκάλαις,
ὁρῶν σε ὁ θεῖος Ἰωσήφ,
τεχθέντα ἐξ αἱμάτων σου, τὸν Ποιητὴν τῆς κτίσεως,
ἐξίστατο Πανάμωμε,
καὶ ὑμνολόγει τὴν δόξαν σου.

Κάθισμα. Ἦχος δ΄. *Ταχὺ προκατάλαβε.*

Ταχέως εἰς Αἴγυπτον, σὺν τῇ Παρθένῳ Ἁγνῇ,
κατῆλθες μακάριε, καὶ τῷ ἐκ ταύτης σαρκί,

www.tezaurliturgic.ro


τεχθέντι Θεῷ ἡμῶν,
φεύγοντι τὴν μανίαν, τοῦ δολίου Ἡρῴδου.
Ὅθεν ἐμεγαλύνθης, δωρεαῖς οὐρανίοις,
ἐξ ὧν καὶ ἡμῖν μετάδος, τοῖς σὲ γεραίρουσι.

Θεοτοκίον.

Τεχθέντα τὸν Ἄναρχον, ἐκ τῶν αἱμάτων τῶν σῶν,
ὡς ἔβλεπε Πάναγνε, ὁ ἱερὸς Ἰωσήφ,
εὐφράνθη τῷ πνεύματι.
Εἶδε γὰρ πληρουμένας, Προφητῶν τὰς προρρήσεις,
ἅπασαν δὲ τὴν κτίσιν, εὐλαβῶς σοι βοῶσαν·
Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Ὠδὴ δ΄. *Ὁ καθήμενος ἐν δόξῃ.*

Μυστηρίων ἀπορρήτων, θεατὴς καὶ αὐτήκοος,
εὐδοκίᾳ θείᾳ, μάκαρ Ἰωσὴφ ἐχρημάτισας,
ὡς σταθερὸς τὴν καρδίαν καὶ πειθήνιος,
ταῖς προστάξεσι, τοῦ Σαβαὼθ Παντοκράτορος.

Νοῦν θεόφρονα καὶ πλήρη, θεϊκῆς ἀγαπήσεως,
ἔχων τὴν καρδίαν, μάκαρ Ἰωσὴφ ἀξιύμνητε,
τοῦ σαρκωθέντος Θεοῦ πατὴρ νενόμισαι,
καὶ δεδόξασαι, προσηγορίᾳ τῇ κρείττονι.

Ἡγιάσθης ἐλαμπρύνθης, ὑπὲρ λόγον μακάριε,
ὅλῃ διανοίᾳ, καὶ τελειοτάτῃ ἐφέσει σου,
διακονῶν τῷ τεχθέντι τε ὡς νήπιον,
Παντοκράτορι, δι' εὐσπλαγχνίαν ἀμέτρητον.

Θεοτοκίον.

Σὺν τῇ Κόρῃ θεοφόρε, Μαριὰμ ἀνελήλυθας,
Βηθλεὲμ εἰς πόλιν, δόγματι ὑπείκων τοῦ Καίσαρος,
καὶ ἐν Σπηλαίῳ τεκοῦσαν ταύτην ἔβλεψας,
τὸν Ὑπέρθεον, ἄνευ ὠδίνων ὡς γέγραπται.

www.tezaurliturgic.ro



Ὠδὴ ε'. *Ἐξέστη τὰ σύμπαντα.*

Τὰς τάξεις ὡς ἤκουσας, καὶ ἐθεάσω Ἅγιε,
τὰς ἀγγελικὰς δοξολογούσας,
τὸν ἐν Σπηλαίῳ σαρκὶ τεχθέντα Θεόν,
θείου ἐπληρώθης φωτισμοῦ, καὶ χαρᾶς τῆς κρείττονος,
Ἰωσὴφ θεοδόξαστε.

Ὁσίως διήγαγες, καὶ καθαρῶς τὸν βίον σου.
Ὅθεν καὶ παρέστης μετὰ δόξης,
οὗ ἐνομίσθης πατὴρ δι' ἔλεος,
καὶ λαμπρῶς ἐδέξω παρ' αὐτοῦ, Ἰωσὴφ μακάριε,
χαρισμάτων δαψίλειαν.

Ρημάτων ὑπήκοος, τῶν σῶν μάκαρ ἐγένετο,
ᾧ καθυπακούει πᾶσα κτίσις,
καὶ καθορᾶται ὑποτασσόμενος,
σοὶ ὥσπερ υἱὸς ἐν Ναζαρέτ, ὁ τῶν ὅλων Κύριος.
Ὢ μεγίστης σου χάριτος!

Θεοτοκίον.

Ἀφθόρως τεκοῦσάν σε, ἐν τῷ Σπηλαίῳ Ἄχραντε,
βλέπων Ἰωσὴφ ὁ θεοφόρος,
τὸν μεγαλεῖά σοι ἐργασάμενον,
ὕμνησε Θεὸν τὸν Παντουργόν, Ὃν ὁρᾷ ὡς νήπιον,
ἐν τῇ φάτνῃ προκείμενον.

Ὠδὴ στ'. *Τὴν θείαν ταύτην.*

Γνωρίσας ἄνωθεν Ἅγιε,
ὡς δίκαιος ἐν πᾶσι καὶ ἄμεμπτος, Θεοῦ τὴν κάθοδον,
ἐν τῇ γαστρὶ τῆς Θεόπαιδος,
διάκονος ἐδείχθης, τῶν ὑπὲρ ἔννοιαν.

Ἐν ταῖς ὁδοῖς πορευόμενος,
τῶν θείων ἐντολῶν τοῦ Παντάνακτος, πλουσίαν εὕρηκας,
ἀντιμισθίαν μακάριε,
καὶ δωρεῶν ἐπλήσθης, τῆς θείας Χάριτος.

www.tezaurliturgic.ro


Ρώμῃ τῇ θείᾳ ῥωννύμενος,
ἐν γήρατι πιστῶς διηκόνησας, θείοις κελεύσμασι,
τοῦ σαρκωθέντος Θεοῦ ἡμῶν,
ὦ Ἰωσὴφ θεόφρον, ἀξιοθαύμαστε.

Θεοτοκίον.

Ἀπεριγράπτως ἐσκήνωσεν,
ἐν μήτρᾳ σου ὁ πᾶσιν ἀχώρητος, καὶ βρέφος γέγονεν,
ἐκ τῶν ἀχράντων αἱμάτων σου,
ὁ πᾶσι δοὺς τὸ εἶναι, Κόρη Πανάχραντε.

Κοντάκιον. Ἦχος γ΄. *Ἡ Παρθένος σήμερον.*

Ἰωσὴφ τὸν Μνήστορα, τῆς Θεοτόκου Παρθένου,
ἱεροῖς ἐν ᾄσμασιν, ἀνευφημήσωμεν πάντες.
Οὗτος γὰρ, δικαιοσύνῃ πάσῃ ἐκλάμπων,
γέγονε, τοῦ σαρκωθέντος Θεοῦ αὐτόπτης.
Ὃ καὶ πάντοτε πρεσβεύει,
ἡμῖν δοθῆναι, πταισμάτων ἄφεσιν.

Ὁ Οἶκος.

Ἰωσὴφ τὸν Δίκαιον,
τὸν ἐν δικαιοσύνῃ τῇ κατὰ νόμον ἐκλάμψαντα,
καὶ Θεοῦ θεράποντα, ἐνθεώτατον ὀφθέντα,
κατὰ χρέος μακαρίσωμεν πάντες.
Θείᾳ γὰρ ὑπηρετῶν βουλῇ,
τὴν ἁγνὴν Παρθένον ἐμνηστεύσατο,
εἰς περιποίησιν θείαν καὶ φύλαξιν,
ὡς καθαρὸς καὶ σῶμα καὶ ψυχὴν καὶ διάνοιαν.
Καὶ τῷ ἐξ αὐτῆς ἀφράστως γεννηθέντι Θεῷ,
ἀμέμπτως καὶ εὐλαβῶς διακονῶν,
υἱὸς αὐτοῦ ἐκλήθη, ὁ ἐκ Πατρὸς Ἀνάρχου,
πρὸ Ἑωσφόρου ἐκλάμψας συνάναρχος Θεός.
Καὶ ἦν αὐτῷ ἐν Ναζαρὲτ ὑποτασσόμενος,
Οὗ τῷ νεύματι καθυπείκει, ὁρατὴ καὶ ἀόρατος κτίσις.
Ὅθεν ὡς ἄγγελος ἐπὶ γῆς διαπρέψας,

www.tezaurliturgic.ro



μετέστη πρὸς δόξαν οὐράνιον, καὶ πάντοτε πρεσβεύει, ἡμῖν δοθῆναι, πταισμάτων ἄφεσιν.

Συναξάριον.

Τῇ αὐτῇ ἡμέρᾳ,(*) Μνήμην ποιοῦμεν τοῦ Ἁγίου καὶ Δικαίου Ἰωσὴφ τοῦ Μνήστορος τῆς Ὑπεραγίας Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας.

*Στίχοι.*

*Τιμῶ Ἰωσήφ, Μνήστορα τῆς Παρθένου,*
*Ὡς ἐκλεγέντα ταύτης φύλακα μόνον.*

*Μνήστορος Ἰωσὴφ θεσπεσίοιο εὐκλείην ἀείδω.*

Ταῖς αὐτοῦ πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. *Ὁ διασώσας ἐν πυρί.*

Ἱεροφθόγγων Προφητῶν, εἶδες πληρουμένας τὰς ρήσεις, ὡς ἐθεάσω ἐξ Ἁγνῆς, γεννηθέντα τὸν τούτοις λαλήσαντα, ὑπερύμνητον Κύριον, Ἰωσὴφ καὶ κατ' ἀξίαν ἐμεγαλύνθης.

Ῥάβδος καθάπερ νοητή, ὥσπερ Ἡσαΐας προέφη, ἄνθος ἐβλάστησεν ἡμῖν, ἡ Παρθένος τὸν πάντων δεσπόζοντα. Οὗ τὴν ἄφραστον Γέννησιν, Ἰωσὴφ καθυπεδέξω χαρᾷ καὶ φόβῳ.

Ὡς ἐκλεγεὶς ὑπὸ Θεοῦ, μετὰ τὴν Πανάχραντον Κόρην, καθυπουργῆσαι εὐσεβῶς, τῷ φρικτῷ μυστηρίῳ μακάριε, τῆς αὐτοῦ σωματώσεως, τῆς Ἀγγέλων εὐκληρίας κατηξιώθης.

(*) Ἤτοι, τῇ Κυριακῇ μετὰ τὴν Χριστοῦ Γέννησιν (ἐὰν ἡ ἑορτὴ τῶν Χριστουγέννων δὲν συμπέσῃ ἐν Κυριακῇ, ἤ τῇ 26ῃ Δεκεμβρίου (ἐὰν δὲν συμπέσῃ Κυριακὴ μεταξὺ 26 καὶ 31 Δεκεμβρίου), ἑορτῇ Συνάξεως τῆς ὑπεραγίας Θεοτόκου.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Γεννήσασα ὑπερφυῶς, τὸν Δημιουργὸν τῶν ἁπάντων,
δίχα τροπῆς τε καὶ φυρμοῦ, τοῦ Ἀδὰμ τὴν οὐσίαν ἐθέωσας,
ὑπερύμνητε Δέσποινα,
ἱλαστήριον τοῦ κόσμου καὶ σωτηρία.

Ὠδὴ η΄. *Λυτρωτὰ τοῦ παντός.*

Ἐν τῷ οἴκῳ σου ἔχων μακάριε,
ταῖς σεπταῖς σου χερσὶν ἀναγόμενον,
ὅν οὐ χωρεῖ τὰ σύμπαντα, ὡς Θεὸν καὶ Δεσπότην,
δόξης ἀΰλου, παρ' αὐτοῦ εἰσεδέξω τὴν ἔλλαμψιν.

Ῥήμασί σου ὑπείκων εἰργάζετο,
μετὰ σοῦ ὥσπερ τέκτων ὁ τέλειος,
τὸ ἀτελὲς λαβόμενος, τῆς ἀνθρώπων οὐσίας,
καὶ τὰ ἐν νόμῳ, τελειῶν Ἰωσὴφ ὡς Φιλάνθρωπος.

Ἀτελὲς οἷα νήπιον Ἅγιε,
τὸν παντέλειον Λόγον καὶ Κύριον,
σεπτῶς περιπτυσσόμενος, καὶ καλῶς ἀνατρέφων,
ἐμεγαλύνθης, καὶ σεπταῖς ἐθεώθης προσπτύξεσι.

Θεοτοκίον.

Σαρκωθέντα ἁγνῶν ἐξ αἱμάτων σου,
τὸν τὸ εἶναι τοῖς πᾶσι παρέχοντα,
ὁ Ἰωσὴφ ὁ Δίκαιος, θεωρήσας Παρθένε,
ἐνθέῳ γλώσσῃ, ὡς Μητέρα Θεοῦ σε ἀνύμνησε.

Ὠδὴ θ΄. *Λίθος ἀχειρότμητος.*

Ἱεροπρεπῶς τὴν ζωήν σου,
διατελέσας θεοφόρε καὶ πιστῶς Κυρίῳ δουλεύσας,
Οὗ τὸν ἀπόρρητον τόκον ἔβλεψας,
τῆς ὑπὲρ νοῦν μετέσχηκας, καὶ εὐφροσύνης καὶ λαμπρότητος.

www.tezaurliturgic.ro



Ὄλβιος ὡς ὄντως ἐδείχθης,
πατὴρ κληθεὶς τοῦ γεννηθέντος ἐκ τῆς Παναγίας Παρθένου,
ὃν ἐκδυσώπει Ἰωσὴφ πάντιμε,
ὑπὲρ τῶν ἐκτελούντων σου, τὴν παναγίαν μνήμην ἅγιε.

Θεοτοκίον.

Ὕφωσον τὸν νοῦν μου Παρθένε,
πρὸς τὴν ἀγάπησιν τὴν θείαν τοῦ ἐκ σοῦ ἀφράστως τεχθέντος,
καὶ λάμπρυνόν με φωτὶ τῆς χάριτος,
τὸν ἐν τῷ σκότει Ἄχραντε, τῆς ἁμαρτίας πορευόμενον.

Ἐξαποστειλάριον. *Ὁ Οὐρανὸν τοῖς ἄστροις.*

Ὁ Ἰωσὴφ ὁ Μνήστωρ, τῆς Θεοτόκου καὶ Ἁγνῆς,
τὸ τῶν Δικαίων κλέος, καὶ πρέσβυς μέγας πρὸς Χριστόν,
τῶν εὐσεβούντων ἁπάντων, μελῳδικῶς ἀνυμνείσθω.

Θεοτοκίον.

Ὑπεραγία Κόρη, ἡ τὸν Θεὸν σωματικῶς,
ἀνερμηνεύτως τεκοῦσα, τὸν ἀναπλάσαντα ἡμᾶς,
ἐκ πάσης με ἐπηρείας, ἐκλύτρωσαι τοῦ Βελίαρ.

Εἰς τοὺς Αἴνους.
Ἱστῶμεν Στίχους δ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.
Ἦχος α´. *Πανεύφημοι Μάρτυρες.*

Παμμάκαρ θεόφρον Ἰωσήφ, Μνήστωρ ἐνθεώτατος,
τῆς Παναγίας Θεόπαιδος, καὶ φύλαξ ἄριστος,
θείᾳ ἐπινεύσει, ἀληθῶς γεγένησαι,
καὶ ταύτην ἀσφαλῶς διετήρησας,
ἕως οὗ Κύριος,
ἐξ αὐτῆς τεχθεὶς ὡς ἄνθρωπος, μετὰ τόκον,
Παρθένον ἐφύλαξε.

Παμμάκαρ θεόφρον Ἰωσήφ, τόκον τὸν ἀπόρρητον,
τῆς Παναγίας Θεόπαιδος, καὶ ἀκατάληπτον,
ἐν Σπηλαίῳ βλέπων, τὸ μέγα μυστήριον,

τῆς θείας τοῦ Δεσπότου κενώσεως,
μεμυσταγώγησαι,
καὶ προθύμως διηκόνησας, τῷ Τεχθέντι,
ὥσπερ ἄλλος ἄγγελος.

Παμμάκαρ θεόφρον Ἰωσήφ, τοῦ ἀμέμπτου βίου σου,
τὴν ἀρετὴν προσηκάμενος, Χριστὸς ὁ Κύριος,
υἱός σου ἐκλήθη, καὶ σοὶ ὑπετάσσετο,
ὡς παῖς ἐν Ναζαρὲτ καθορώμενος,
ὁ Προαιώνιος.
Ὢ τῆς χάριτος ἧς ἔτυχες, καὶ τῆς δόξης,
τῆς πολλῆς σου ἅγιε!

Παμμάκαρ θεόφρον Ἰωσήφ, τὸν ἀσπόρως λάμψαντα,
ἐκ τῆς ἀχράντου Θεόπαιδος, καὶ σὲ καλέσαντα,
πατέρα δυσώπει, Χριστὸν τὸν Θεὸν ἡμῶν,
δωρήσασθαι πταισμάτων συγχώρησιν,
τοῖς σὲ γεραίρουσι,
καὶ πιστῶς πανηγυρίζουσι, τὴν ἁγίαν,
καὶ φωσφόρον μνήμην σου.

Δόξα. Ἦχος πλ. α΄.

Τὴν θεοπρεπῆ σου ζωήν,
ὡς θυσίαν λογικὴν καὶ ἄμωμον,
ὁ Σωτὴρ προσεδέξατο, Ἰωσὴφ μακάριε.
Τούτῳ γὰρ ἀμέμπτως λατρεύων,
τύποις νομικοῖς, ἐν τῷ ἀπορρήτῳ μυστηρίῳ
τῆς πρὸς ἡμᾶς οἰκονομίας αὐτοῦ,
διακονῆσαι προεκρίθης, ὡς ἀθῷος ταῖς χερσί,
καὶ καθαρὸς τῇ καρδίᾳ κατὰ Δαυὶδ τὸν θεῖον.
Ὅθεν μεγάλως ἐδοξάσθης,
καὶ μειζόνων δωρεῶν ἠξιώθης,
παρὰ τοῦ καλέσαντός σε πατέρα,
Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.
Αὐτὸν ἱκέτευε δεόμεθα,
δωρηθῆναι ἡμῖν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

www.tezaurliturgic.ro



Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε...

*Δοξολογία Μεγάλη* καὶ Ἀπόλυσις.

☆☆☆

# ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ *Τυπικά,* οἱ *Μακαρισμοί,* καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ ἡ στ΄ ᾠδή.

Ἀπόστολος. Προκείμενον.

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ, εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Πρὸς Κορινθίους Β΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

*Ἀδελφοί, ἔχοντες τοιαύτην ἐλπίδα...*

(Ζήτει τῷ Σαββάτῳ τῆς ΚΑ΄ ἑβδομάδος).

Εὐαγγέλιον κατὰ Ματθαῖον. (Ζήτει Κυριακῇ μετὰ τὴν Χριστοῦ Γέννησιν).

Κοινωνικόν. *Εἰς μνημόσυνον αἰώνιον...*

*Μεγαλυνάριον.*

Χαίροις τῶν Δικαίων ἡ καλλονή,
Ἰωσὴφ ὁ Μνήστωρ, τῆς τεκούσης τὸν Ποιητήν.
Χαίροις ἀντιλήπτωρ, τῶν σὲ παρακαλούντων,
καὶ πρὸς Χριστὸν μεσίτης, ἡμῶν θερμότατος.

*Δίστιχον.*

*Μνήστωρ Ἰωσήφ, τόν δε τὸν ὕμνον δέξαι,*
*Ὃν σοι Γεράσιμος ἐξύφανε πόθῳ.*